ἐκ τοῦ χρόνου γένοιτο ἴασις· ἀλλὰ τὴν προαίρεσιν
τοῦ ἑαυτοῦ διὰ ἐπιστροφῆς θεραπεύοντος.
Ταῦτα οἱ ὦ ἄριστε τοῦ θεοῦ κατὰ πολλὴν σπουδὴν ἐκ
τῶν προχείρων συνθέντες διὰ τὸ δεῖν τοῖς
τῶν ἀδελφῶν ὅσοι τῷ τάγματι πείθεσθαι, κατὰ
σπουδὴν ἐπεστάλκαμεν. οὐδὲ τὰς συνήθεις
ὑπὲρ ἡμῶν εὐχὰς τῷ θεῷ προσφέρων μὴ διαλίπῃς·
χρεωστεῖς γὰρ ὡς εὐγνώμων υἱὸς τῶν κατὰ θεὸν
γονέων γεννησάντων σε, τὴν δι' αὐτῶν προσευχῶν γηροκομίαν·
κατὰ τὴν ἐντολὴν τὴν κελεύουσαν τιμᾶν τοὺς
γονέας, ἵνα εὖ σοι γένηται· καὶ ἔσῃ μακροχρόνιος
ἐπὶ τῆς γῆς. δῆλον δὲ, ὅτι ὡς σύμβολον δὲ
ξη τὸ γράμμα, καὶ οἷα τι μαστεῖς τὸ ξένιον χάριν
μικρότερον εἰ τῆς σῆς μεγαλοφυΐας:·

ἐκ πόσων τὸ σῶμα στοιχείων καὶ ἡ ψυχὴ ἐκ πόσων

Τετραμερές ἐστι τὸ σῶμα, ἐκ δ´ στοιχείων, ὥσπερ
κόσμος συνιστάμενος· ἐκ πυρὸς ἀέρος· ὕδατος·
καὶ γῆς· ἢ ἐκ θερμοῦ· ψυχροῦ· ὑγροῦ· καὶ ξηροῦ·
τουτέστιν· αἵματος· φλέγματος· χυμοῦ καὶ
χολῆς· τριμερὴς δὲ ἡ ψυχὴ ἐν αὐτῷ προτυποῦ
σα τὴν ἁγίαν τριάδα. ὥσπερ ἐν σώματι τὴν
μέλλουσαν ἐν τῷ μετὰ ταῦτα κόσμῳ φανερωθῆ
ναι τοῦ τῆς θεογνωσίας ζωοποιεῖσθαι· τριμε
ρῆ δὲ λέγουσιν αὐτήν· ἔχουσαν ὥσπερ τινὰ
στοιχεῖα γενικὰ ἐν αὐτῆς μέρη διῶν καὶ συνιστά
τουτέστι, τὸ λογιστικόν· τὸ θυμητικόν· καὶ
τὸ ἐπιθυμητικόν· ὅπως διὰ μὲν τοῦ λόγου λογίζε
ται τὴν ἀρετήν· διὰ δὲ τοῦ θυμητικοῦ, θυμοῖ
θυμοῖ καὶ ἀγαπᾷ τὸν θεόν· διὰ δὲ τοῦ ἐπιθυμητικοῦ,

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
© Biblioteca Apostolica Vaticana
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_209/0425
The Polonsky Foundation